# 0345-0407 - Iohannes Chrysostomus - Post reditum a priore exsilio

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 093 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Post reditum a priore exsilio

[00001] ΤΟΥ ΑΥΤΟΥ ΕΠΑΝΕΛΘΟΝΤΟΣ Ἀπὸ τῆς προτέρας ἐξορίας ὁμιλία.

52.443

[00002] α′.

[00003] Ὅτε τὴν Σάῤῥαν ἀπὸ τοῦ Ἀβραὰμ ἥρπασεν ὁ Φαραὼ, τὴν καλὴν καὶ εὐειδῆ γυναῖκα ὁ πονηρὸς καὶ βάρβαρος καὶ Αἰγύπτιος, ἀδίκοις ὀφθαλμοῖς ἰδὼν αὐτῆς τὸ κάλλος, καὶ μοιχείας ἐργάσασθαι δρᾶμα βουλόμενος·

[00004] τότε δὴ, τότε παρὰ μὲν τὴν ἀρχὴν οὐκ ἐκόλασεν ὁ Θεὸς, ἵνα δειχθῇ καὶ τοῦ δικαίου ἡ ἀνδρεία, καὶ τῆς γυναικὸς ἡ σωφροσύνη, καὶ τοῦ βαρβάρου ἡ ἀκολασία, καὶ ἡ τοῦ Θεοῦ φιλανθρωπία·

[00005] τοῦ δικαίου ἡ ἀνδρεία, ὅτι ἔφερεν εὐχαρίστως τὸ γενόμενον·

[00006] τῆς γυναικὸς ἡ σωφροσύνη, ὅτι ἐνέπεσεν εἰς τὰς βαρβαρικὰς χεῖρας, καὶ τὴν σεμνότητα διετήρησε·

[00007] τοῦ βαρβάρου ἡ ἀκολασία, ὅτι ἀλλοτρίᾳ ἐπῆλθεν εὐνῇ·

[00008] τοῦ Θεοῦ ἡ φιλανθρωπία, ὅτι μετὰ ἀπόγνωσιν ἀνθρώπων, τότε τὸν στέφανον ἤνεγκε τῷ δικαίῳ.

[00009] Ταῦτα ἐγίνετο τότε ἐπὶ τοῦ Ἀβραὰμ, ἐγένετο δὲ σήμερον ἐπὶ τῆς Ἐκκλησίας.

[00010] Αἰγύπτιος οὗτος, ὡς ἐκεῖνος Αἰγύπτιος·

[00011] οὗτος δορυφόρους εἶχεν, ἐκεῖνος ὑπασπιστάς·

[00012] ἐκεῖνος τὴν Σάῤῥαν, οὗτος τὴν Ἐκκλησίαν·

[00013] μίαν νύκτα ἐκεῖνος συνέσχε, μίαν ἡμέραν οὗτος εἰσῆλθεν·

[00014] οὐδ' ἂν τὴν μίαν συνεχωρήθη, ἀλλ' ἵνα δειχθῇ τῆς νύμφης ἡ σωφροσύνη, ὅτι εἰσέρχεται, καὶ οὐ διεφθάρη αὐτῆς τὸ κάλλος τῆς σωφροσύνης, καίτοι μοιχὸν ἡτοίμασε, καὶ τὰ γραμματεῖα συνετελεῖτο, καὶ πολλοὶ τῶν τῆς οἰκίας ὑπέγραφον.

[00015] Ἀπηρτίσθη ἡ μηχανὴ, καὶ τὸ τέλος οὐκ ἐγένετο.

[00016] Ἐφάνη ἐκείνου ἡ πονηρία, καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία.

[00017] Ἀλλ' ὁ μὲν βάρβαρος τότε ἐκεῖνος ἐπιγνοὺς τὸ ἁμάρτημα, ὡμολόγησε τὸ παρανόμημα·

[00018] λέγει γὰρ τῷ Ἀβραάμ·

[00019] Τί ἐποίησας τοῦτο;

[00020] εἰς τί εἶπας, ὅτι ἀδελφή μού ἐστι;

[00021] καὶ μικροῦ ἂν ἥμαρτον·

[00022] οὗτος δὲ μετὰ τὴν παρανομίαν ἐπηγωνίσατο.

[00023] Ἄθλιε καὶ ταλαίπωρε, Ἥμαρτες, ἡσύχασον, μὴ πρόσθες ἁμαρτίαν ἐφ' ἁμαρτίαν.

[00024] Κἀκείνη μὲν ἐπανῆλθε, πλοῦτον ἔχουσα τὸν Αἰγυπτιακόν·

[00025] ἡ δὲ Ἐκκλησία ἐπανῆλθε, πλοῦτον ἔχουσα τὸν ἀπὸ τῆς γνώμης, καὶ σωφρονεστέρα ἐφάνη.

[00026] Ὅρα δὲ τὴν μανίαν τοῦ βαρβάρου.

[00027] Ἐξέβαλες τὸν ποιμένα·

[00028] τί τὴν ἀγέλην διέσπασας;

[00029] Ἀπέστησας τὸν κυβερνήτην·

[00030] τί τοὺς οἴακας κατέκλασας;

[00031] Τὸν ἀμπελουργὸν ἐξέβαλες·

[00032] τί τὰς ἀμπέλους ἀνέσπασας;

[00033] τί τὰ μοναστήρια διέφθειρας;

[00034] Βαρβάρων ἔφοδον ἐμιμήσω.

[00035] β′.

[00036] Ἐποίησεν ἅπαντα, ἵνα δειχθῇ ὑμῶν ἡ ἀνδρεία·

[00037] ἐποίησεν ἅπαντα, ἵνα μάθῃ ὅτι ποίμνη ἐστὶν ἐνταῦθα ὑπὸ Χριστοῦ ποιμαινομένη.

[00038] Ἔξω ὁ ποιμὴν, καὶ ἡ ἀγέλη συνεκροτεῖτο, καὶ τὸ ἀποστολικὸν ἐπληροῦτο ῥῆμα·

[00039] Οὐκ ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ καὶ ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε.

[00040] Καὶ τοιαῦτα ἠπείλουν δεδοικότες ὑμῶν τὴν ἀνδρείαν καὶ τῆς ἀγάπης τὸ φίλτρον, καὶ τὸν πόθον τὸν περὶ ἐμέ.

[00041] Οὐδὲν τολμῶμεν, φησὶν, ἐν τῇ πόλει·

[00042] δότε ἡμῖν αὐτὸν ἔξω.

[00043] Λάβετέ με ἔξω, ἵνα μάθητε τὸν πόθον τῆς Ἐκκλησίας, μάθητε τῶν ἐμῶν τέκνων τὴν εὐγένειαν, τῶν στρατιωτῶν τὴν ἰσχὺν, τῶν ὁπλιτῶν τὴν δύναμιν, τῶν διαδημάτων τὴν περιφάνειαν, τοῦ πλούτου τὴν περιουσίαν, τῆς ἀγάπης τὸ μέγεθος, τῆς καρτερίας τὴν ὑπομονὴν, τῆς ἐλευθερίας τὸ ἄνθος, τῆς νίκης τὸ περιφανὲς, τῆς ἥττης σου τὸν γέλωτα.

[00044] Ὢ καινῶν καὶ παραδόξων πραγμάτων·

[00045] ὁ ποιμὴν ἔξω, καὶ ἡ ἀγέλη σκιρτᾷ·

[00046] ὁ στρατηγὸς πόῤῥω, καὶ οἱ [52.444] στρατιῶται ὡπλίζοντο.

[00047] Οὐκέτι ἡ ἐκκλησία εἶχε τὸ στρατόπεδον μόνον, ἀλλὰ καὶ ἡ πόλις ἐκκλησία ἐγένετο.

[00048] Αἱ ῥῦμαι, αἱ ἀγοραὶ, ὁ ἀὴρ ἡγιάζετο·

[00049] αἱρετικοὶ ἐπεστρέφοντο, οἱ Ἰουδαῖοι βελτίους ἐγένοντο·

[00050] οἱ ἱερεῖς κατεδικάζοντο, καὶ οἱ Ἰουδαῖοι τὸν Θεὸν εὐφήμουν, καὶ ἡμῖν προσέτρεχον.

[00051] Οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ἐγένετο.

[00052] Καϊάφας ἐσταύρωσε, καὶ λῃστὴς ὡμολόγησεν.

[00053] Ὢ καινῶν καὶ παραδόξων πραγμάτων·

[00054] ἱερεῖς ἀπέκτειναν, καὶ μάγοι προσεκύνησαν.

[00055] Μὴ ξενιζέτω ταῦτα τὴν Ἐκκλησίαν.

[00056] Εἰ μὴ ταῦτα ἐγένετο, ὁ πλοῦτος ἡμῶν οὐκ ἂν ἐφάνη·

[00057] ἦν μὲν, οὐκ ἂν δὲ ἐφάνη.

[00058] Ὥσπερ γὰρ ὁ Ἰὼβ δίκαιος μὲν ἦν, οὐκ ἂν δὲ ἐφάνη, εἰ μὴ τὰ τραύματα, καὶ οἱ σκώληκες·

[00059] οὕτω καὶ ὁ ὑμέτερος πλοῦτος, εἰ μὴ αἱ ἐπιβουλαὶ, οὐκ ἂν ἐφάνη.

[00060] Ἀπολογούμενος δὲ τῷ Ἰὼβ ὁ Θεός φησιν, ὅτι Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς;

[00061] Ἐπεβούλευσαν ἐκεῖνοι, ἐπολέμησαν, καὶ ἡττήθησαν.

[00062] Πῶς ἐπολέμησαν;

[00063] Ῥοπάλοις.

[00064] Πῶς ἡττήθησαν;

[00065] Εὐχαῖς.

[00066] Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

[00067] Σὺ ῥόπαλα εἰσφέρεις εἰς τὴν ἐκκλησίαν καὶ πολεμεῖς·

[00068] ὅπου εἰρήνη πᾶσι, πολέμου ἄρχῃ·

[00069] οὐδὲ τὸν τόπον ᾐδέσθης, ἄθλιε καὶ ταλαίπωρε, οὐδὲ τῆς ἱερωσύνης τὸ ἀξίωμα, οὐδὲ τῆς ἀρχῆς τὸ μέγεθος.

[00070] Τὸ φωτιστήριον αἱμάτων ἐμπέπλησται·

[00071] ὅπου ἁμαρτημάτων ἄφεσις, αἱμάτων ἔκχυσις.

[00072] Ἐν ποίᾳ παρατάξει ταῦτα γίνεται;

[00073] Βασιλεὺς εἰσέρχεται καὶ ῥίπτει ἀσπίδα καὶ διάδημα·

[00074] σὺ εἰσῆλθες, καὶ ῥόπαλα ἥρπασας.

[00075] Ἐκεῖνος καὶ τὰ συνθήματα τῆς βασιλείας ἔξω ἀφίησι·

[00076] σὺ τὰ συνθήματα τοῦ πολέμου ἐνταῦθα εἰσήνεγκας.

[00077] Ἀλλὰ τὴν νύμφην μου οὐδὲν ἔβλαψας, ἀλλὰ μένει τὸ κάλλος αὐτῆς ἐπιδεικνυμένη.

[00078] γʹ.

[00079] Διὰ τοῦτο χαίρω, οὐχ ὅτι ἐνικήσατε.

[00080] Εἰ παρήμην, ἐμεριζόμην μεθ' ὑμῶν τὴν νίκην·

[00081] ἐπειδὴ δὲ ἀνεχώρησα, γυμνὸν ὑμῶν τὸ τρόπαιον ἐφάνη.

[00082] Ἀλλὰ καὶ τοῦτο ἐμὸν ἐγκώμιον, καὶ πάλιν μερίζομαι ἐγὼ μεθ' ὑμῶν τὴν νίκην, ὅτι οὕτως ὑμᾶς ἀνέθρεψα, ὡς καὶ ἀπόντος τοῦ πατρὸς τὴν οἰκείαν εὐγένειαν ἐπιδείκνυσθαι.

[00083] Ὥσπερ γὰρ οἱ γενναῖοι τῶν ἀθλητῶν καὶ ἀπόντος τοῦ παιδοτρίβου τὴν ἑαυτῶν ῥώμην ἐπιδείκνυνται·

[00084] οὕτω καὶ ἡ εὐγένεια τῆς ὑμετέρας πίστεως καὶ ἀπόντος τοῦ διδασκάλου τὴν οἰκείαν εὐμορφίαν ἐπεδείξατο.

[00085] Τίς χρεία λόγων;

[00086] Οἱ λίθοι βοῶσιν·

[00087] οἱ τοῖχοι φωνὴν ἀφιᾶσιν.

[00088] Ἄπελθε εἰς βασιλικὰς αὐλὰς, καὶ ἀκούεις εὐθέως·

[00089] Οἱ λαοὶ Κωνσταντινουπόλεως.

[00090] Ἄπελθε εἰς τὴν θάλατταν, εἰς τὴν ἔρημον, εἰς τὰ ὄρη, εἰς τὰς οἰκίας, τὸ ἐγκώμιον ὑμῶν ἀναγέγραπται.

[00091] Ἐν τίνι ἐνικήσατε;

[00092] Οὐ χρήμασιν, ἀλλὰ πίστει.

[00093] Ὦ λαὸς φιλοδιδάσκαλος, ὢ λαὸς φιλοπάτωρ, μακαρία ἡ πόλις, οὐ διὰ κίονας καὶ χρυσοῦν ὄροφον, ἀλλὰ διὰ τὴν ὑμετέραν ἀρετήν.

[00094] Τοσαῦται αἱ ἐπιβουλαὶ, καὶ αἱ εὐχαὶ ὑμῶν ἐνίκησαν·

[00095] καὶ μάλα εἰκότως·

[00096] καὶ γὰρ ἐκτενεῖς ἦσαν αἱ εὐχαὶ, καὶ αἱ πηγαὶ τῶν δακρύων ἐπέῤῥεον.

[00097] Ἐκεῖνοι βέλη, ὑμεῖς δὲ δάκρυα·

[00098] ἐκεῖνοι θυμὸν, ὑμεῖς δὲ πραΰτητα.

[00099] Ὃ βούλει ποίησον·

[00100] ὑμεῖς εὔχεσθε.

[00101] Κἀκεῖνοι, οἳ ἀντέλεγον, ποῦ νῦν [52.445] εἰσιν;

[00102] Ὅπλα ἐκινήσαμεν;

[00103] μὴ τόξα ἐτείναμεν;

[00104] μὴ βέλη ἀφήκαμεν;

[00105] Εὐχόμεθα, κἀκεῖνοι ἔφυγον·

[00106] ὡς γὰρ ἀράχνη διεσπάσθησαν, καὶ ὑμεῖς ὡς πέτρα ἑστήκατε.

[00107] Μακάριος ἐγὼ δι' ὑμᾶς.

[00108] Ἤδειν μὲν καὶ πρὸ τούτου ἡλίκον ἔχω πλοῦτον, ἐθαύμασα δὲ καὶ νῦν.

[00109] Πόῤῥω ἤμην, καὶ πόλις μετῳκίζετο.

[00110] Δι' ἕνα ἄνθρωπον τὸ πέλαγος πόλις ἐγίνετο.

[00111] Γυναῖκες, ἄνδρες, παιδία ἄωρα τὴν ἡλικίαν, γυναῖκες βαστάζουσαι παιδία, κατετόλμων πελάγους, κατεφρόνησαν κυμάτων.

[00112] Οὐ δοῦλος ἐδεδοίκει δεσπότην, οὐ γυνὴ τῆς φυσικῆς ἀσθενείας ἐμέμνητο.

[00113] Γέγονεν ἡ ἀγορὰ ἐκκλησία, τὰ πανταχοῦ δι' ἡμᾶς.

[00114] Τίνα γὰρ οὐκ ἐπαιδεύσατε;

[00115] Βασιλίδα συγχορεύουσαν ἐλάβετε·

[00116] οὐ γὰρ ἀποκρύψομαι τὸν ζῆλον αὐτῆς.

[00117] Οὐ βασιλίδα κολακεύων ταῦτα λέγω, ἀλλ' εὐσέβειαν θεραπεύων·

[00118] οὐ γὰρ ἀποκρύψομαι αὐτῆς τὸν ζῆλον.

[00119] Οὐ γὰρ ὅπλα ἔλαβεν, ἀλλὰ κατορθώματα ἀρετῆς.

[00120] Ἀπηγόμην τότε, ἴστε πῶς.

[00121] Δεῖ γὰρ καὶ λυπηρὰ εἰπεῖν, ἵνα μάθητε τὰ χρηστά·

[00122] ἀλλὰ μάθητε πῶς ἀπηγόμην, καὶ πῶς ἐπανῆλθον.

[00123] Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.

[00124] Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν·

[00125] ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

[00126] Ταῦτα τὰ ῥήματα ἐγένετο πράγματα.

[00127] Μετ' εὐχαριστίας ὑπεδέξασθε ὃν ὀδυνώμενοι προεπέμψατε.

[00128] Καὶ οὐδὲ ἐν μακρῷ χρόνῳ·

[00129] μετὰ μίαν ἡμέραν πάντα ἐλύθη.

[00130] Καὶ γὰρ ἡ ἀναβολὴ ἐγένετο δι' ὑμᾶς, ἐπεὶ ὁ Θεὸς ἐξ ἀρχῆς ἔλυσε.

[00131] δʹ.

[00132] Λέγω ὑμῖν τὸ ἀπόῤῥητον.

[00133] Ἐπεραιώθην τὸ πέλαγος μόνος τὴν Ἐκκλησίαν βαστάζων·

[00134] ἡ γὰρ ἀγάπη οὐ στενοῦται.

[00135] Οὐκ ἐστενοχωρεῖτο τὸ πλοῖον·

[00136] Οὐ στενοχωρεῖσθε γὰρ ἐν ἡμῖν.

[00137] Ἀπήειν τὰ ὑμέτερα μεριμνῶν, κεχωρισμένος μὲν τῷ σώματι, συνημμένος δὲ τῇ γνώμῃ·

[00138] ἀπήειν τὸν Θεὸν παρακαλῶν, καὶ παρακατατιθέμενος ὑμῶν τὴν ἀγάπην·

[00139] ἀπήειν, ἐκαθεζόμην μόνος τὰ ὑμέτερα μεριμνῶν, βουλευόμενος περὶ ἀποδημίας μόνος.

[00140] Ἀθρόον ἀωρίας γενομένης γράμματα ἔπεμψεν ἡ θεοφιλεστάτη αὕτη ἐν τῇ πρώτῃ ἡμέρᾳ, ταῦτα λέγουσα τὰ ῥήματα (δεῖ γὰρ αὐτῆς καὶ τὰ ῥήματα εἰπεῖν)·

[00141] Μὴ νομίσῃ σου ἡ ἁγιωσύνη ὅτι ἔγνων τὰ γεγενημένα.

[00142] Ἀθῶος ἐγὼ ἀπὸ τοῦ αἵματός σου.

[00143] Ἄνθρωποι πονηροὶ καὶ διεφθαρμένοι ταύτην τὴν μηχανὴν διεσκεύασαν·

[00144] τῶν δὲ ἐμῶν δακρύων μάρτυς ὁ Θεὸς, ᾧ ἱερεύω.

[00145] Οἵαν σπονδὴν ἐξέχεε;

[00146] τὰ γὰρ δάκρυα αὐτῆς σπονδὴ ἐγένετο.

[00147] Ὢ ἱερεύω.

[00148] Ἡ ἱέρεια, αὐτοχειροτόνητος θύουσα τῷ Θεῷ καὶ σπένδουσα δάκρυα καὶ ἐξομολόγησιν καὶ μετάνοιαν, οὐχ ὑπὲρ ἱερέως, ἀλλ' ὑπὲρ Ἐκκλησίας, ὑπὲρ δήμου διεσπαρμένου.

[00149] Ἐμέμνητο, ἐμέμνητο καὶ τῶν παιδίων καὶ τοῦ βαπτίσματος.

[00150] Μέμνημαι ὅτι διὰ τῶν χειρῶν τῶν σῶν τὰ παιδία τὰ ἐμὰ ἐβαπτίσθη.

[00151] Ταῦτα ἡ βασίλισσα·

[00152] οἱ δὲ ἱερεῖς περὶ φθόνου πάντες ἠγνόουν τὸ χωρίον, ἔνθα κατέλυον.

[00153] Καὶ τὸ δὴ θαυμαστὸν εἰπεῖν, ἐκείνη μὲν ὡς ὑπὲρ τέκνου τρέμουσα περιῄει πανταχοῦ, οὐ τῷ σώματι, ἀλλὰ τῇ ἰδίᾳ πομπῇ τῶν στρατιωτῶν.

[00154] Οὐ γὰρ κατείληφε τὸ χωρίον, ἔνθα διῆγον.

[00155] Πανταχοῦ ἔπεμπε μεριμνῶσα μὴ δολοφονηθῇ, μὴ ἀναιρεθῇ, καὶ ἀπολέσωμεν τὸ θήραμα.

[00156] Τοῦτο μόνον, καὶ τὰ παρ' ἐμαυτῆς ἐπιδείκνυμι.

[00157] Ζητῶ μόνον, καὶ οὐ περιγίνονται, [52.446] Οἱ ἐχθροὶ πανταχοῦ περιῄεσαν δίκτυα ἁπλοῦντες, ἵνα λάβωσι καὶ ἐπαναγάγωσιν εἰς τὰς ἐκείνων χεῖρας.

[00158] Εἶτα καὶ παρεκάλει, καὶ τῶν γονάτων ἥπτετο τῶν βασιλικῶν, κοινωνὸν τὸν ἄνδρα ποιοῦσα τοῦ θηράματος·

[00159] καθάπερ ὁ Ἀβραὰμ τὴν Σάῤῥαν, οὕτως αὐτὴ τὸν ἄνδρα.

[00160] Ἀπωλέσαμεν, φησὶ, τὸν ἱερέα, ἀλλ' ἐπαναγάγωμεν.

[00161] Οὐκ ἔστιν ἡμῖν οὐδεμία ἐλπὶς τῆς βασιλείας, ἐὰν μὴ ἐκεῖνον ἐπαναγάγωμεν.

[00162] Ἀμήχανον ἐμὲ κοινωνῆσαί τινι τῶν ταῦτα ἐργασαμένων·

[00163] δάκρυα ἐξαφιεῖσα, τὸν Θεὸν ἱκετεύουσα, πᾶσαν μηχανὴν ἐπιδεικνυμένη.

[00164] Ἴστε καὶ ὑμεῖς μεθ' ὅσης εὐνοίας ἡμᾶς ὑπεδέξατο, πῶς ἐνηγκαλίσατο ὡς οἰκεῖα μέλη, πῶς μεθ' ὑμῶν ἔλεγε καὶ αὐτὴ σπουδάζειν.

[00165] Οὐδὲ γὰρ ταῦτα τὰ ῥήματα ἔλαθε τὴν εὐγνωμοσύνην ὑμῶν, ὅτι ἀπεδέξασθε τὴν μητέρα τῶν Ἐκκλησιῶν, τὴν τροφὸν τῶν μοναζόντων, καὶ προστάτιν τῶν ἁγίων, τῶν πτωχῶν τὴν βακτηρίαν.

[00166] Ὁ ἔπαινος ἐκείνης δόξα εἰς Θεὸν γίνεται, στέφανος τῶν Ἐκκλησιῶν.

[00167] Εἴπω θερμὸν αὐτῆς πόθον;

[00168] εἴπω φιλοτιμίαν τὴν περὶ ἐμέ;

[00169] Ἐν ἑσπέρᾳ βαθείᾳ χθὲς ἀπέστειλε ταῦτα λέγουσα τὰ ῥήματα·

[00170] Εἰπὲ πρὸς αὐτόν·

[00171] ἡ εὐχή μου πεπλήρωται·

[00172] ἀπήτησα τὸ κατόρθωμα·

[00173] ἐστεφανώθην μᾶλλον τοῦ διαδήματος·

[00174] ἀπέλαβον τὸν ἱερέα, ἀπέδωκα τὴν κεφαλὴν τῷ σώματι, τὸν κυβερνήτην τῇ νηΐ, τὸν ποιμένα τῇ ποίμνῃ, τὸν νυμφίον τῇ παστάδι.

[00175] ε′.

[00176] Κατῃσχύνθησαν οἱ μοιχοί.

[00177] Ἐὰν ζήσω, ἐὰν ἀποθάνω, οὐκέτι μοι μέλει.

[00178] Ἴδετε τοῦ πειρασμοῦ τὰ κατορθώματα.

[00179] Τί ποιήσω, ἵνα ὑμῖν ἀξίαν ἀποδῶ τῆς ἀγάπης τὴν ἀμοιβήν;

[00180] Ἀξίαν μὲν οὐ δύναμαι, ἣν δὲ ἔχω, δίδωμι.

[00181] Ἀγαπῶ ἑτοίμως τὸ αἷμά μου ἐκχέειν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας.

[00182] Οὐδεὶς ἔχει τέκνα τοιαῦτα, οὐδεὶς ἀγέλην τοιαύτην, οὐδεὶς ἄρουραν οὕτως εὐθαλῆ.

[00183] Οὐ χρεία μοι γεωργίας·

[00184] ἐγὼ καθεύδω, καὶ οἱ στάχυες κομῶσιν.

[00185] Οὐ χρεία μοι πόνου·

[00186] ἐγὼ ἡσυχάζω, καὶ τὰ πρόβατα τῶν λύκων περιγίνονται.

[00187] Τί ὑμᾶς καλέσω;

[00188] πρόβατα ἢ ποιμένας, ἢ κυβερνήτας, ἢ στρατιώτας καὶ στρατηγούς;

[00189] Πάντα ὑμῖν ἐπαληθεύω τὰ ῥήματα.

[00190] Ὅταν ἴδω τὴν εὐταξίαν, πρόβατα καλῶ·

[00191] ὅταν ἴδω τὴν πρόνοιαν, ποιμένας προσαγορεύω·

[00192] ὅταν ἴδω τὴν σοφίαν, κυβερνήτας ὀνομάζω·

[00193] ὅταν ἴδω τὴν ἀνδρείαν καὶ τὴν εὐτονίαν, στρατιώτας καὶ στρατηγοὺς ὑμᾶς ἅπαντας λέγω.

[00194] Ὢ πόνος, ὢ πρόνοια λαοῦ·

[00195] ἠλάσατε τοὺς λύκους, καὶ οὐκ ἀμεριμνήσετε.

[00196] Οἱ ναῦται οἱ μεθ' ὑμῶν καθ' ὑμῶν γεγόνασιν, οἵτινες τὸν πόλεμον τῷ πλοίῳ κατεσκεύασαν.

[00197] Βοᾶτε ἔξω τὸν κλῆρον, καὶ ἄλλον κλῆρον τῇ Ἐκκλησίᾳ.

[00198] Τίς χρεία βοῆς;

[00199] Ἀπῆλθον, καὶ ἀπηλάθησαν, μηδενὸς διώκοντος ἐφυγαδεύθησαν.

[00200] Οὐ κατηγορεῖ αὐτῶν ἄνθρωπος, ἀλλὰ τὸ συνειδός.

[00201] Εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.

[00202] Οἱ μεθ' ἡμῶν καθ' ἡμῶν γεγόνασιν·

[00203] οἱ μεθ' ἡμῶν τὸ πλοῖον κυβερνῶντες, τὸ πλοῖον καταποντίσαι ἠθέλησαν.

[00204] Ἐθαύμασα ὑμῶν τὴν σύνεσιν.

[00205] Ταῦτα λέγω, οὐκ εἰς στάσιν ὑμᾶς ἀλείφων.

[00206] Στάσις γὰρ τὰ ἐκείνων, τὰ δὲ ὑμέτερα ζῆλος.

[00207] Οὐ γὰρ ἠξιώσατε αὐτοὺς ἀναιρεθῆναι, ἀλλὰ κωλυθῆναι τοῦτο καὶ ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ τῆς Ἐκκλησίας, ἵνα μὴ πάλιν ὑποβρύχιος γένηται.

[00208] Ἡ γὰρ ἀνδρεία ὑμῶν οὐκ ἀφῆκε γενέσθαι τὸν χειμῶνα, ἀλλ' ἡ γνώμη ἐκείνων τὸ κλυδώνιον εἰργάσατο.

[00209] Ἐγὼ δὲ, οὐ τῷ τέλει, ἀλλὰ τῇ γνώμῃ ἐκείνων λογίζομαι.

[00210] Ἄνθρωπος θυσιαστηρίῳ παρεστηκὼς, δήμου τοσούτου [52.447] ἐγκεχειρισμένος πρόνοιαν, ὀφείλων καταστέλλειν τὰ λυπηρὰ, ηὔξησας τὸν χειμῶνα, κατὰ σαυτοῦ τὸ ξίφος ἤλασας, τὰ τέκνα τὰ σὰ ἀναλώσας τῇ γνώμῃ, εἰ καὶ μὴ τῇ πείρᾳ.

[00211] Ἀλλ' ὁ Θεὸς ἐκώλυσεν.

[00212] Ὥστε θαυμάζω ὑμᾶς καὶ ἐπαινῶ, ὅτι μετὰ τὸν πόλεμον καὶ τῆς εἰρήνης γενομένης σκοπεῖτε, ὅπως ἂν τελεία γένηται εἰρήνη.

[00213] Δεῖ γὰρ τὸν κυβερνήτην μετὰ τῶν ναυτῶν ὁμόνοιαν ἔχειν·

[00214] ἐὰν γὰρ διαστασιάζωσι, καταποντίζεται τὸ σκάφος.

[00215] Ὑμεῖς κατορθώσατε τὴν εἰρήνην μετὰ τὴν τοῦ Θεοῦ χάριν·

[00216] ὑμᾶς κοινωνοὺς ποιήσομαι τῆς ἀσφαλείας.

[00217] Χωρὶς ὑμῶν οὐδὲν ἐργάσομαι, εἶτα καὶ τῆς θεοφιλεστάτης Αὐγούστης.

[00218] Καὶ γὰρ κἀκείνη φροντίζει καὶ μεριμνᾷ καὶ πάμπολλα ποιεῖ, ὥστε τὸ φυτευθὲν μεῖναι βέβαιον, ὥστε τὴν Ἐκκλησίαν ἀκλυδώνιστον μεῖναι.

[00219] Ἐπήνεσα οὖν καὶ ὑμῶν τὴν [52.448] σύνεσιν, καὶ τῶν βασιλέων τὴν πρόνοιαν.

[00220] Οὐ γὰρ οὕτως αὐτοῖς μέλει περὶ πολέμου, ὡς περὶ Ἐκκλησίας, οὐχ οὕτω περὶ πόλεως, ὡς περὶ Ἐκκλησίας.

[00221] Παρακαλέσωμεν τὸν Θεὸν, ἀξιώσωμεν ἐκείνην, παραμείνωμεν ταῖς εὐχαῖς·

[00222] καὶ μὴ, ἐπειδὴ ἐλύθη τὰ δεινὰ, χαυνότεροι γενώμεθα.

[00223] Διὰ τοῦτο ἕως τῆς σήμερον εὐχόμεθα λυθῆναι τὰ δεινά.

[00224] Εὐχαριστήσωμεν τῷ Θεῷ, ὥσπερ τότε ἀνδρεῖοι, οὕτω καὶ σήμερον σπουδαῖοι.

[00225] Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Υἱῷ σὺν τῷ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00226] Ἀμήν.

[00227] ἀὰ

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Post reditum a priore exsilio**
**Litterarum Omnium Conspectus: 132 Litterae, quae repetitae sunt in 10,050 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 818 | Α | 0913 | 8 |
| β | 0946 | 70 | Β | 0914 | 4 |
| γ | 0947 | 170 | Γ | 0915 | 2 |
| δ | 0948 | 167 | Δ | 0916 | 0 |
| ε | 0949 | 564 | Ε | 0917 | 11 |
| ζ | 0950 | 25 | Ζ | 0918 | 1 |

| | | | | | |
|---|---|---|---|---|---|
| η | 0951 | 187 | Η | 0919 | 0 |
| θ | 0952 | 126 | Θ | 0920 | 18 |
| ι | 0953 | 360 | Ι | 0921 | 0 |
| κ | 0954 | 339 | Κ | 0922 | 10 |
| λ | 0955 | 276 | Λ | 0923 | 3 |
| μ | 0956 | 365 | Μ | 0924 | 5 |
| ν | 0957 | 860 | Ν | 0925 | 2 |
| ξ | 0958 | 34 | Ξ | 0926 | 0 |
| ο | 0959 | 568 | Ο | 0927 | 31 |
| π | 0960 | 318 | Π | 0928 | 9 |
| ρ | 0961 | 349 | Ρ | 0929 | 0 |
| ς | 0962 | 323 | • | 0930 | 0 |
| σ | 0963 | 324 | Σ | 0931 | 6 |
| τ | 0964 | 742 | Τ | 0932 | 17 |
| υ | 0965 | 136 | Υ | 0933 | 4 |
| φ | 0966 | 75 | Φ | 0934 | 1 |
| χ | 0967 | 88 | Χ | 0935 | 3 |
| ψ | 0968 | 7 | Ψ | 0936 | 0 |
| ω | 0969 | 153 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 7 | | | 0 |
| ῥ | 8165 | 20 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 114 | έ | 8051 | 146 | ή | 8053 | 54 | ί | 8055 | 189 | ό | 8057 | 97 | ύ | 8059 | 62 | ώ | 8061 | 32 |
| ὰ | 8048 | 106 | ὲ | 8050 | 49 | ὴ | 80852 | 90 | ὶ | 8054 | 140 | ὸ | 8056 | 102 | ὺ | 8058 | 13 | ὼ | 8060 | 11 |
| ᾶ | 8118 | 16 | | | 0 | ῆ | 8134 | 63 | ῖ | 8150 | 67 | | | 0 | ῦ | 8166 | 77 | ῶ | 8182 | 90 |
| ἀ | 7936 | 110 | ἐ | 7952 | 145 | ἠ | 7968 | 5 | ἰ | 7984 | 50 | ὀ | 8000 | 4 | ὐ | 8016 | 98 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 8 | ἑ | 7953 | 5 | ἡ | 7969 | 50 | ἱ | 7985 | 40 | ὁ | 8001 | 19 | ὑ | 8017 | 55 | ὡ | 8033 | 11 |
| ἂ | 7938 | 7 | ἒ | 7954 | 0 | ἢ | 7970 | 4 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 2 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 1 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 14 | ἔ | 7956 | 28 | ἤ | 7972 | 3 | ἴ | 7988 | 10 | ὄ | 8004 | 2 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 5 | ἕ | 7957 | 3 | ἥ | 7973 | 6 | ἵ | 7989 | 13 | ὅ | 8005 | 22 | ὕ | 8021 | 10 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 3 | ἶ | 7990 | 5 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 1 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 1 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 10 | | | 0 | ῃ | 8131 | 11 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 5 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 7 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 21 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 21 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Post reditum a priore exsilio**
**Verborum Omnium Conspectus: 965Verba, quae repetita sunt in 3,665,527 occasionibus**

---

**α** [00002]
**ἀὰ** [00227]
**Ἀβραὰμ** [00003] [00009] [00159]
**Ἀβραάμ** [00018]
**ἀγαθῷ** [00225]
**ἀγαλλιάσει** [00123] [00125]
**ἀγάπη** [00134]
**ἀγάπην** [00138]
**ἀγάπης** [00040] [00043] [00179]
**Ἀγαπῶ** [00181]
**ἀγέλη** [00038] [00045]
**ἀγέλην** [00028] [00182]
**ἁγίων** [00165]
**ἁγιωσύνη** [00141]
**ἀγορὰ** [00113]
**ἀγοραὶ** [00048]
**ἀδελφή** [00020]
**ἀδίκοις** [00003]
**ἀεὶ** [00225]
**ἀὴρ** [00048]
**ἀθλητῶν** [00083]
**ἄθλιε** [00069]
**Ἄθλιε** [00023]
**Ἀθρόον** [00140]
**Ἀθῶος** [00142]
**Αἱ** [00048]
**αἱ** [00048] [00059] [00094] [00094] [00096] [00096]
**Αἰγυπτιακόν** [00024]
**Αἰγύπτιος** [00003] [00010] [00010]
**αἷμά** [00181]
**αἵματός** [00142]
**αἱμάτων** [00070] [00071]
**αἱρετικοὶ** [00049]
**αἴροντες** [00125]
**αἰῶνας** [00225]
**αἰώνων** [00225]
**ἀκλυδώνιστον** [00218]
**ἀκολασία** [00004] [00007]
**ἀκούεις** [00088]
**ἀλείφων** [00205]
**ἀλλ** [00014] [00117] [00148] [00160] [00208]
**Ἀλλ** [00017] [00211]
**ἀλλὰ** [00039] [00047] [00077] [00092] [00093] [00119] [00122] [00153] [00200] [00207] [00209]
**Ἀλλὰ** [00077] [00082]
**ἄλλην** [00066]
**ἄλλον** [00197]
**ἀλλοτρίᾳ** [00007]
**ἄλλως** [00060]
**ἅμα** [00225]
**ἁμάρτημα** [00017]
**ἁμαρτημάτων** [00071]
**ἁμαρτίαν** [00023] [00023]

**ἀμεριμνήσετε** [00195]
**Ἀμήν** [00226]
**Ἀμήχανον** [00162]
**ἀμοιβήν** [00179]
**ἀμπελουργὸν** [00031]
**ἀμπέλους** [00032]
**ἂν** [00014] [00021] [00056] [00057] [00058] [00059] [00212]
**ἄν** [00201]
**ἀναβολὴ** [00130]
**ἀναγέγραπται** [00090]
**ἀναιρεθῇ** [00155]
**ἀναιρεθῆναι** [00207]
**ἀναλώσας** [00210]
**ἀναφανῇς** [00060]
**ἄνδρα** [00158] [00159]
**ἀνδρεία** [00004] [00005] [00036] [00208]
**ἀνδρείαν** [00040] [00193]
**ἀνδρεῖοι** [00224]
**ἄνδρες** [00111]
**ἀνέθρεψα** [00082]
**ἀνέσπασας** [00032]
**ἀνεχώρησα** [00081]
**ἄνθος** [00043]
**Ἄνθρωποι** [00143]
**ἄνθρωπον** [00110]
**ἄνθρωπος** [00200]
**Ἄνθρωπος** [00210]
**ἀνθρώπων** [00008]
**ἀντέλεγον** [00101]
**ἀξίαν** [00179]
**Ἀξίαν** [00180]
**ἀξίωμα** [00069]
**ἀξιώσωμεν** [00221]
**ἅπαντα** [00036] [00037]
**ἅπαντας** [00193]
**ἁπάντων** [00225]
**ἀπεδέξασθε** [00165]
**ἀπέδωκα** [00174]
**ἀπέκτειναν** [00054]
**ἀπέλαβον** [00174]
**Ἄπελθε** [00088] [00090]
**ἀπέστειλε** [00169]
**Ἀπέστησας** [00029]
**ἀπηγόμην** [00122]
**Ἀπηγόμην** [00120]
**ἀπῄειν** [00138] [00139]
**Ἀπῄειν** [00137]
**ἀπηλάθησαν** [00199]
**Ἀπῆλθον** [00199]
**Ἀπηρτίσθη** [00015]
**ἀπῄτησα** [00172]
**ἁπλοῦντες** [00157]
**ἀπόγνωσιν** [00008]
**ἀποδημίας** [00139]
**ἀποδῶ** [00179]
**ἀποθάνω** [00177]
**ἀποκρύψομαι** [00116] [00118]
**ἀπολέσωμεν** [00155]
**Ἀπολογούμενος** [00060]
**ἀπόντος** [00082] [00083] [00084]
**ἀπόῤῥητον** [00132]
**ἀποστολικὸν** [00038]
**ἀπουσίᾳ** [00039]
**Ἀπωλέσαμεν** [00160]
**ἀράχνη** [00106]
**ἀρετήν** [00093]
**ἀρετῆς** [00119]
**ἄρουραν** [00182]
**ἄρχῃ** [00068]
**ἀρχὴν** [00004]
**ἀρχῆς** [00069] [00130]
**ἀσθενείας** [00112]
**ἀσπίδα** [00073]
**ἀσφαλείας** [00216]
**Αὐγούστης** [00217]
**αὐλὰς** [00088]
**αὐτὴ** [00159] [00164]
**αὕτη** [00140]
**αὐτῆς** [00003] [00014] [00077] [00116] [00118] [00140] [00146] [00167]
**αὐτοῖς** [00220]
**αὐτὸν** [00042]
**αὐτόν** [00170]
**ΑΥΤΟΥ** [00001]
**αὐτοὺς** [00207]
**αὐτοχειροτόνητος** [00148]
**αὐτῷ** [00066]
**αὐτῶν** [00124] [00125] [00200]
**ἄφεσις** [00071]
**ἀφήκαμεν** [00104]
**ἀφῆκε** [00208]
**ἀφιᾶσιν** [00087]
**ἀφίησι** [00075]
**ἄωρα** [00111]
**ἀωρίας** [00140]

**β** [00035]
**βαθείᾳ** [00169]
**βακτηρίαν** [00165]
**βάλλοντες** [00124]
**βαπτίσματος** [00149]
**βαρβαρικὰς** [00006]
**βάρβαρος** [00003] [00017]
**βαρβάρου** [00004] [00007] [00026]
**Βαρβάρων** [00034]
**βασιλείας** [00075] [00161]
**Βασιλεὺς** [00073]
**βασιλέων** [00219]
**Βασιλίδα** [00115]
**βασιλίδα** [00117]
**βασιλικὰς** [00088]
**βασιλικῶν** [00158]
**βασίλισσα** [00151]
**βαστάζουσαι** [00111]
**βαστάζων** [00133]

**βέβαιον** [00218]
**βέλη** [00097] [00104]
**βελτίους** [00049]
**Βοᾶτε** [00197]
**βοῆς** [00198]
**βούλει** [00099]
**βουλευόμενος** [00139]
**βουλόμενος** [00003]
**βοῶσιν** [00086]

**γ** [00078]
**γὰρ** [00018] [00058] [00083] [00096] [00106] [00114] [00116] [00118] [00119] [00121] [00130] [00134] [00136] [00140] [00146] [00154] [00165] [00206] [00207] [00208] [00213] [00214] [00218] [00220]
**γεγενημένα** [00141]
**γεγόνασιν** [00196] [00202]
**Γέγονεν** [00113]
**γέλωτα** [00043]
**γενέσθαι** [00208]
**γένηται** [00207] [00212]
**γενναῖοι** [00083]
**γενομένης** [00140] [00212]
**γενόμενον** [00005]
**γενώμεθα** [00222]
**γεωργίας** [00183]
**γίνεται** [00072] [00166]
**γνώμῃ** [00137] [00209] [00210]
**γνώμη** [00208]
**γνώμης** [00025]
**γονάτων** [00158]
**γράμματα** [00140]
**γραμματεῖα** [00014]
**γυμνὸν** [00081]
**γυναῖκα** [00003]
**Γυναῖκες** [00111]
**γυναῖκες** [00111]
**γυναικὸς** [00004] [00006]
**γυνὴ** [00112]

**δ** [00131]
**δάκρυα** [00097] [00146] [00148] [00163]
**δάκρυσιν** [00123]
**δακρύων** [00096] [00144]
**δὲ** [00009] [00022] [00025] [00026] [00057] [00058] [00060] [00081] [00097] [00098] [00108] [00125] [00137] [00144] [00152] [00180] [00206] [00209] [00225]
**δεδοικότες** [00040]
**Δεῖ** [00121] [00213]
**δεῖ** [00140]
**δεινὰ** [00222]
**δεινά** [00223]
**δειχθῇ** [00004] [00014] [00036]
**δεξιὰν** [00066]
**δεσπότην** [00112]
**δὴ** [00004] [00153]
**δήμου** [00148] [00210]
**Δι** [00110]
**δι** [00107] [00113] [00130]
**Διὰ** [00079] [00223]
**διὰ** [00093] [00093] [00150]
**διάδημα** [00073]
**διαδήματος** [00173]
**διαδημάτων** [00043]
**διαστασιάζωσι** [00214]
**διδασκάλου** [00084]
**δίδωμι** [00180]
**διεσκεύασαν** [00143]
**διεσπαρμένου** [00148]
**διέσπασας** [00028]
**διεσπάσθησαν** [00106]
**διετήρησε** [00006]
**διεφθάρη** [00014]
**διεφθαρμένοι** [00143]
**διέφθειρας** [00033]
**διῆγον** [00154]
**δίκαιος** [00058] [00060]
**δικαίου** [00004] [00005]
**δικαίῳ** [00008]
**δίκτυα** [00157]
**διώκοντος** [00199]
**δολοφονηθῇ** [00155]
**δόξα** [00166] [00225]
**δορυφόρους** [00011]
**δότε** [00042]
**δοῦλος** [00112]
**δράγματα** [00125]
**δρᾶμα** [00003]
**δύναμαι** [00180]
**δύναμιν** [00043]

**ε** [00175]
**ἐὰν** [00161] [00177] [00214]
**Ἐὰν** [00177]
**Ἐάν** [00066]
**ἑαυτῶν** [00039] [00083]
**ἐβαπτίσθη** [00150]
**ἔβλαψας** [00077]
**ἐγένετο** [00009] [00015] [00047] [00051] [00056] [00126] [00130] [00146]
**ἐγένοντο** [00049]
**ἐγίνετο** [00009] [00110]
**ἐγκεχειρισμένος** [00210]
**ἐγκώμιον** [00082] [00090]
**ἔγνων** [00141]
**ἐγὼ** [00082] [00107] [00142] [00184] [00186]
**Ἐγὼ** [00209]
**ἐδεδοίκει** [00112]
**ἐθαύμασα** [00108]
**Ἐθαύμασα** [00204]
**Εἰ** [00056] [00080] [00201]
**εἰ** [00058] [00059] [00210]
**εἰκότως** [00095]
**εἶπας** [00020]
**Εἰπὲ** [00170]
**εἰπεῖν** [00121] [00140] [00153]

Εἴπω [00167]
εἴπω [00168]
εἰργάσατο [00208]
εἰρήνη [00068] [00212]
εἰρήνην [00215]
εἰρήνης [00212]
εἰς [00006] [00020] [00066] [00067] [00088] [00090] [00090] [00090] [00090] [00157] [00166] [00205] [00225]
εἰσέρχεται [00014] [00073]
εἰσῆλθεν [00013]
εἰσῆλθες [00074]
εἰσήνεγκας [00076]
εἰσιν [00101]
εἰσφέρεις [00067]
Εἶτα [00158]
εἶτα [00217]
εἶχε [00047]
εἶχεν [00011]
ἐκαθεζόμην [00139]
ἐκείνη [00153]
ἐκείνην [00221]
ἐκείνης [00166]
ἐκεῖνοι [00061] [00098]
Ἐκεῖνοι [00097]
ἐκεῖνον [00161]
ἐκεῖνος [00010] [00011] [00012] [00013] [00017]
Ἐκεῖνος [00075]
ἐκείνου [00016]
ἐκείνων [00157] [00206] [00208] [00209]
ἐκινήσαμεν [00102]
ἐκκλησία [00047] [00047] [00113]
Ἐκκλησίᾳ [00197]
Ἐκκλησία [00025]
ἐκκλησίαν [00067]
Ἐκκλησίαν [00012] [00055] [00133] [00218]
Ἐκκλησίας [00009] [00043] [00148] [00207] [00220] [00220]
Ἐκκλησιῶν [00165] [00166]
ἔκλαιον [00124]
ἐκόλασεν [00004]
ἐκτενεῖς [00096]
ἐκχέειν [00181]
ἔκχυσις [00071]
ἐκώλυσεν [00211]
ἔλαβεν [00119]
ἐλάβετε [00115]
ἔλαθε [00165]
ἔλεγε [00164]
ἐλευθερίας [00043]
ἐλπὶς [00161]
ἐλύθη [00129] [00222]
ἔλυσε [00130]
ἐμὰ [00150]
ἐμαυτῆς [00156]
ἐμὲ [00162]
ἐμέ [00040] [00168]
ἐμέμνητο [00112] [00149]
Ἐμέμνητο [00149]
ἐμεριζόμην [00080]
ἐμιμήσω [00034]
ἐμὸν [00082]
ἐμπέπλησται [00070]
ἐμῶν [00043] [00144]
ἐν [00039] [00039] [00041] [00123] [00123] [00125] [00128] [00136] [00140]
Ἐν [00072] [00091] [00169]
ἕνα [00110]
ἐνέπεσεν [00006]
ἐνηγκαλίσατο [00164]
ἔνθα [00152] [00154]
ἐνίκησαν [00094]
ἐνικήσατε [00079] [00091]
ἐνταῦθα [00037] [00076]
ἐξ [00130]
ἐξαφιεῖσα [00163]
ἐξέβαλες [00031]
Ἐξέβαλες [00027]
ἐξέχεε [00145]
ἐξομολόγησιν [00148]
ἐξορίας [00001]
ἔξω [00042] [00043] [00045] [00075] [00197]
Ἔξω [00038]
ἐπαιδεύσατε [00114]
ἔπαινος [00166]
ἐπαινῶ [00212]
ἐπαληθεύω [00189]
ἐπαναγάγωμεν [00160] [00161]
ἐπαναγάγωσιν [00157]
ΕΠΑΝΕΛΘΟΝΤΟΣ [00001]
ἐπανῆλθε [00024] [00025]
ἐπανῆλθον [00122]
Ἐπεβούλευσαν [00061]
ἐπεδείξατο [00084]
ἐπεὶ [00130]
ἐπειδὴ [00081] [00222]
ἔπεμπε [00155]
ἔπεμψεν [00140]
Ἐπεραιώθην [00133]
ἐπέῤῥεον [00096]
ἐπεστρέφοντο [00049]
ἐπηγωνίσατο [00022]
ἐπῆλθεν [00007]
Ἐπήνεσα [00219]
ἐπὶ [00009] [00009] [00051]
ἐπιβουλαὶ [00059] [00094]
ἐπιγνοὺς [00017]
ἐπιδεικνυμένη [00077] [00163]
ἐπιδείκνυμι [00156]
ἐπιδείκνυνται [00083]
ἐπιδείκνυσθαι [00082]
ἐπληροῦτο [00038]
ἐποίησας [00019]
ἐποίησεν [00037]
Ἐποίησεν [00036]
ἐπολέμησαν [00061] [00062]
ἐπορεύοντο [00124]
ἐργασαμένων [00162]
ἐργάσασθαι [00003]
ἐργάσομαι [00217]

**ἔρημον** [00090]
**ἐρχόμενοι** [00125]
**ἑσπέρᾳ** [00169]
**ἐσταύρωσε** [00052]
**ἐστενοχωρεῖτο** [00135]
**ἐστεφανώθην** [00173]
**ἑστήκατε** [00106]
**ἐστι** [00020]
**ἐστὶν** [00037]
**ἔστιν** [00161]
**ἐτείναμεν** [00103]
**ἑτοίμως** [00181]
**εὐγένεια** [00084]
**εὐγένειαν** [00043] [00082]
**εὐγνωμοσύνην** [00165]
**εὐειδῆ** [00003]
**εὐθαλῆ** [00182]
**εὐθέως** [00088]
**εὐμορφίαν** [00084]
**εὐνῇ** [00007]
**εὐνοίας** [00164]
**εὐσέβειαν** [00117]
**εὐταξίαν** [00190]
**εὐτονίαν** [00193]
**εὐφήμουν** [00050]
**εὐχαὶ** [00094] [00096]
**Εὐχαῖς** [00065]
**εὐχαῖς** [00221]
**Εὐχαριστήσωμεν** [00224]
**εὐχαριστήσωμεν** [00225]
**εὐχαριστίας** [00127]
**εὐχαρίστως** [00005]
**εὔχεσθε** [00100]
**εὐχή** [00171]
**Εὐχόμεθα** [00105]
**εὐχόμεθα** [00223]
**ἐφ** [00023]
**ἐφάνη** [00025] [00056] [00057] [00058] [00059] [00081]
**Ἐφάνη** [00016]
**ἔφερεν** [00005]
**ἔφοδον** [00034]
**ἐφυγαδεύθησαν** [00199]
**ἔφυγον** [00105]
**ἔχει** [00182]
**ἔχειν** [00213]
**ἐχθροὶ** [00157]
**ἐχθρὸς** [00201]
**ἔχουσα** [00024] [00025]
**ἔχω** [00108] [00180]
**ἕως** [00223]

**ζῆλον** [00116] [00118]
**ζῆλος** [00206]
**ζήσω** [00177]
**Ζητῶ** [00157]
**ζωοποιῷ** [00225]

**ἡ** [00004] [00004] [00004] [00004] [00005] [00006] [00007] [00008] [00014] [00015] [00016] [00016] [00025] [00036] [00038] [00045] [00047] [00047] [00084] [00093] [00113] [00130] [00134] [00140] [00141] [00151] [00171] [00208]
**ἢ** [00060] [00188] [00188] [00188]
**Ἡ** [00148] [00208]
**ἡγιάζετο** [00048]
**ἠγνόουν** [00152]
**Ἤδειν** [00108]
**ἠδέσθης** [00069]
**ἠθέλησαν** [00203]
**ἤλασας** [00210]
**ἠλάσατε** [00195]
**ἡλικίαν** [00111]
**ἡλίκον** [00108]
**Ἥμαρτες** [00023]
**ἥμαρτον** [00021]
**ἡμᾶς** [00113] [00164]
**ἡμέρᾳ** [00140]
**ἡμέραν** [00013] [00129]
**ἤμην** [00109]
**ἡμῖν** [00042] [00050] [00136] [00161]
**ἡμῶν** [00056] [00202] [00202] [00203]
**ἣν** [00180]
**ἦν** [00057] [00058]
**ἤνεγκε** [00008]
**ἠξιώσατε** [00207]
**ἥξουσιν** [00125]
**ἠπείλουν** [00040]
**ἥπτετο** [00158]
**ἥρπασας** [00074]
**ἥρπασεν** [00003]
**ἦσαν** [00096]
**ἡσυχάζω** [00186]
**ἡσύχασον** [00023]
**ἡτοίμασε** [00014]
**ἡττήθησαν** [00061] [00064]
**ἥττης** [00043]
**ηὔξησας** [00210]

**θάλατταν** [00090]
**θαυμάζω** [00212]
**θαυμαστὸν** [00153]
**Θεὸν** [00050] [00138] [00163] [00166] [00221]
**Θεὸς** [00004] [00130] [00144] [00211]
**Θεός** [00060]
**Θεοῦ** [00004] [00008] [00016] [00215]
**θεοφιλεστάτη** [00140]
**θεοφιλεστάτης** [00217]
**θεραπεύων** [00117]
**θεριοῦσι** [00123]
**θερμὸν** [00167]
**Θεῷ** [00148] [00224] [00225]
**θήραμα** [00155]
**θηράματος** [00158]

θυμὸν [00098]
θύουσα [00148]
θυσιαστηρίῳ [00210]

Ἴδετε [00178]
ἰδίᾳ [00153]
ἴδω [00190] [00191] [00192] [00193]
ἰδὼν [00003]
ἱερέα [00160] [00174]
ἱέρεια [00148]
ἱερεῖς [00050] [00054] [00152]
ἱερεύω [00144] [00147]
ἱερέως [00148]
ἱερωσύνης [00069]
ἱκετεύουσα [00163]
ἵνα [00004] [00014] [00036] [00037] [00043] [00060] [00121] [00157] [00179] [00207]
Ἰουδαῖοι [00049] [00050]
ἴστε [00120]
Ἴστε [00164]
ἰσχὺν [00043]
Ἰὼβ [00058] [00060]

Καϊάφας [00052]
καθ [00196] [00202]
καθάπερ [00159]
καθεύδω [00184]
καινῶν [00044] [00053]
καίτοι [00014]
Κἀκείνη [00024]
κἀκείνη [00218]
Κἀκεῖνοι [00101]
κἀκεῖνοι [00105]
καλέσω [00187]
καλὴν [00003]
κάλλος [00003] [00014] [00077]
καλῶ [00190]
καρτερίας [00043]
καταποντίζεται [00214]
καταποντίσαι [00203]
καταστέλλειν [00210]
κατεδικάζοντο [00050]
κατείληφε [00154]
κατέκλασας [00030]
κατέλυον [00152]
κατεργάζεσθε [00039]
κατεσκεύασαν [00196]
κατετόλμων [00111]
κατεφρόνησαν [00111]
κατηγορεῖ [00200]
Κατησχύνθησαν [00176]
κατόρθωμα [00172]
κατορθώματα [00119] [00178]
κατορθώσατε [00215]
κεφαλὴν [00174]
κεχρηματικέναι [00060]
κεχωρισμένος [00137]
κίονας [00093]
κλῆρον [00197] [00197]
κλυδώνιον [00208]
κοινωνῆσαί [00162]
κοινωνὸν [00158]
κοινωνοὺς [00216]
κολακεύων [00117]
κομῶσιν [00184]
κράτος [00225]
κυβερνήτας [00188] [00192]
κυβερνήτην [00029] [00174] [00213]
κυβερνῶντες [00203]
κυμάτων [00111]
κωλυθῆναι [00207]
Κωνσταντινουπόλεως [00089]

Λάβετέ [00043]
λάβωσι [00157]
λαοὶ [00089]
λαὸς [00093] [00093]
λαοῦ [00194]
λέγει [00018]
λέγουσα [00140] [00169]
Λέγω [00132]
λέγω [00117] [00193] [00205]
λῃστὴς [00052]
λίθοι [00086]
λογίζομαι [00209]
λόγων [00085]
λυθῆναι [00223]
λύκους [00195]
λύκων [00186]
λυπηρὰ [00121] [00210]

μάγοι [00054]
μάθη [00037]
μάθητε [00043] [00043] [00121] [00122]
μακαρία [00093]
Μακάριος [00107]
μακρῷ [00128]
μάλα [00095]
μᾶλλον [00173]
μανίαν [00026]
μάρτυς [00144]
με [00043] [00060] [00201]
μέγεθος [00043] [00069]
μεθ [00080] [00082] [00164] [00164] [00196] [00202] [00203]
μεῖναι [00218] [00218]
μέλει [00177] [00220]
μέλη [00164]
Μέμνημαι [00150]
μὲν [00004] [00017] [00024] [00057] [00058] [00108] [00137] [00153] [00180]

**μένει** [00077]
**μερίζομαι** [00082]
**μεριμνᾷ** [00218]
**μεριμνῶν** [00137] [00139]
**μεριμνῶσα** [00155]
**Μετ** [00127]
**μετάνοιαν** [00148]
**μετῳκίζετο** [00109]
**μηδενὸς** [00199]
**μητέρα** [00165]
**μηχανὴ** [00015]
**μηχανὴν** [00143] [00163]
**μίαν** [00013] [00013] [00014] [00129]
**μικροῦ** [00021]
**μοι** [00177] [00183] [00185]
**μοιχείας** [00003]
**μοιχοί** [00176]
**μοιχὸν** [00014]
**μοναζόντων** [00165]
**μοναστήρια** [00033]
**μόνον** [00039] [00047] [00156] [00157]
**μόνος** [00133] [00139] [00139]
**μού** [00020]
**μου** [00039] [00039] [00077] [00171] [00181]

**ναῦται** [00196]
**ναυτῶν** [00213]
**νηῒ** [00174]
**νίκην** [00080] [00082]
**νίκης** [00043]
**νομίσῃ** [00141]
**νύκτα** [00013]
**νύμφην** [00077]
**νύμφης** [00014]
**νυμφίον** [00174]
**νῦν** [00101] [00108] [00225]

**ξενιζέτω** [00055]
**ξίφος** [00210]

**ὁ** [00003] [00003] [00004] [00017] [00038] [00045] [00046] [00048] [00056] [00058] [00059] [00060] [00130] [00144] [00159] [00211]
**Ὁ** [00166]
**Ὃ** [00099]
**ὀδυνώμενοι** [00127]
**Οἱ** [00086] [00089] [00123] [00157] [00196] [00202]
**οἱ** [00046] [00049] [00050] [00050] [00058] [00083] [00087] [00152] [00176] [00184] [00196] [00203]
**οἷ** [00101]
**οἴακας** [00030]
**Οἵαν** [00145]
**Οἴει** [00060]
**οἰκεῖα** [00164]
**οἰκείαν** [00082] [00084]
**οἰκίας** [00014] [00090]
**οἵτινες** [00196]
**ὁμιλία** [00001]
**ὁμόνοιαν** [00213]
**ὃν** [00127]
**ὀνομάζω** [00192]
**ὅπλα** [00119]
**Ὅπλα** [00102]
**ὁπλιτῶν** [00043]
**ὅπου** [00068] [00071]
**ὅπως** [00212]
**Ὄρα** [00026]
**ὄρη** [00090]
**ὄροφον** [00093]
**ὅσης** [00164]
**ὅταν** [00191] [00192] [00193]
**Ὅταν** [00190]
**Ὅτε** [00003]
**ὅτι** [00005] [00006] [00007] [00008] [00014] [00020] [00037] [00060] [00079] [00082] [00141] [00150] [00165] [00212]
**Οὐ** [00092] [00112] [00117] [00119] [00136] [00154] [00183] [00185] [00200] [00207] [00220]
**οὐ** [00014] [00093] [00112] [00116] [00118] [00134] [00153] [00157] [00180] [00209]
**οὐδ** [00014]
**Οὐδὲ** [00165]
**οὐδὲ** [00069] [00069] [00069] [00128]
**Οὐδεὶς** [00182]
**οὐδεὶς** [00182] [00182]
**οὐδεμία** [00161]
**Οὐδὲν** [00041]
**οὐδὲν** [00077] [00217]
**Οὐκ** [00039] [00135] [00161]
**οὐκ** [00004] [00015] [00056] [00057] [00058] [00059] [00114] [00195] [00205] [00208]
**Οὐκέτι** [00047]
**οὐκέτι** [00177]
**οὖν** [00219]
**οὗτος** [00010] [00011] [00012] [00013] [00022]
**Οὕτω** [00051]
**οὕτω** [00059] [00084] [00220] [00224]
**οὕτως** [00082] [00159] [00182] [00220]
**οὐχ** [00079] [00148] [00220]
**ὀφείλων** [00210]
**ὀφθαλμοῖς** [00003]

**παιδία** [00111] [00111] [00150]
**παιδίων** [00149]
**παιδοτρίβου** [00083]
**πάλιν** [00082] [00207]
**πάμπολλα** [00218]
**Πάντα** [00189]
**πάντα** [00129]
**Πανταχοῦ** [00155]
**πανταχοῦ** [00113] [00153] [00157]
**πάντες** [00152]
**παρ** [00156]
**παρὰ** [00004]
**παραδόξων** [00044] [00053]
**Παρακαλέσωμεν** [00221]

παρακαλῶν [00138]
παρακατατιθέμενος [00138]
παραμείνωμεν [00221]
παρανόμημα [00017]
παρανομίαν [00022]
παρατάξει [00072]
παρεκάλει [00158]
παρεστηκὼς [00210]
παρήμην [00080]
παρουσίᾳ [00039]
πᾶσαν [00163]
πᾶσι [00068]
παστάδι [00174]
πατρὸς [00082]
πείρᾳ [00210]
πειρασμοῦ [00178]
πέλαγος [00110] [00133]
πελάγους [00111]
πεπλήρωται [00171]
περὶ [00040] [00139] [00152] [00168] [00220] [00220] [00220] [00220]
περιγίνονται [00157] [00186]
περιήει [00153]
περιήεσαν [00157]
περιουσίαν [00043]
περιφάνειαν [00043]
περιφανὲς [00043]
πέτρα [00106]
πηγαὶ [00096]
πίστει [00092]
πίστεως [00084]
πλοῖον [00135] [00203] [00203]
πλοίῳ [00196]
πλοῦτον [00024] [00025] [00108]
πλοῦτος [00056] [00059]
πλούτου [00043]
Πνεύματι [00225]
πόθον [00040] [00043] [00167]
ποίᾳ [00072]
ποιεῖ [00218]
ποιήσομαι [00216]
ποίησον [00099]
ποιήσω [00179]
ποιμαινομένη [00037]
ποιμένα [00027] [00174]
ποιμένας [00188] [00191]
ποιμὴν [00038] [00045]
ποίμνῃ [00174]
ποίμνη [00037]
ποιοῦσα [00158]
πόλει [00041]
πολεμεῖς [00067]
πόλεμον [00196] [00212]
πολέμου [00068] [00076] [00220]
πόλεως [00220]
πόλις [00047] [00093] [00109] [00110]
πολλοὶ [00014]
πομπῇ [00153]
πονηρία [00016]
πονηροὶ [00143]
πονηρὸς [00003]
πόνος [00194]
πόνου [00185]
Πορευόμενοι [00124]
Πόῤῥω [00109]
πόῤῥω [00046]
ποῦ [00101]
πράγματα [00126]
πραγμάτων [00044] [00053]
πραΰτητα [00098]
πρὸ [00108]
πρόβατα [00186] [00188] [00190]
προεπέμψατε [00127]
πρόνοια [00194]
πρόνοιαν [00191] [00210] [00219]
πρὸς [00170]
προσαγορεύω [00191]
προσεκύνησαν [00054]
προσέτρεχον [00050]
πρόσθες [00023]
προστάτιν [00165]
προτέρας [00001]
πρώτη [00140]
πτωχῶν [00165]
Πῶς [00062] [00064]
πῶς [00120] [00122] [00122] [00164] [00164]

ῥαπίσῃ [00066]
ῥῆμα [00038]
ῥήματα [00126] [00140] [00140] [00165] [00169] [00189]
ῥίπτει [00073]
ῥόπαλα [00067] [00074]
Ῥοπάλοις [00063]
ῥῦμαι [00048]
ῥώμην [00083]

σὰ [00210]
Σάῤῥαν [00003] [00012] [00159]
σαυτοῦ [00210]
σε [00066]
σεμνότητα [00006]
σήμερον [00009] [00223] [00224]
σιαγόνα [00066]
σκάφος [00214]
σκιρτᾷ [00045]
σκοπεῖτε [00212]
σκώληκες [00058]
σοι [00060]
σου [00043] [00141] [00142]
σοφίαν [00192]
σπείροντες [00123]
σπένδουσα [00148]
σπέρματα [00124]

**σπονδὴ** [00146]
**σπονδὴν** [00145]
**σπουδάζειν** [00164]
**σπουδαῖοι** [00224]
**στάσιν** [00205]
**Στάσις** [00206]
**στάχυες** [00184]
**στενοῦται** [00134]
**στενοχωρεῖσθε** [00136]
**στέφανον** [00008]
**στέφανος** [00166]
**στρατηγὸς** [00046]
**στρατηγοὺς** [00193]
**στρατηγούς** [00188]
**στρατιῶται** [00046]
**στρατιώτας** [00188] [00193]
**στρατιωτῶν** [00043] [00153]
**στρατόπεδον** [00047]
**στρέψον** [00066]
**Σὺ** [00067]
**σὺ** [00074] [00076]
**συγχορεύουσαν** [00115]
**σὺν** [00225]
**συνειδός** [00200]
**συνεκροτεῖτο** [00038]
**σύνεσιν** [00204] [00219]
**συνέσχε** [00013]
**συνετελεῖτο** [00014]
**συνεχωρήθη** [00014]
**συνημμένος** [00137]
**συνθήματα** [00075] [00076]
**σώματι** [00137] [00153] [00174]
**σῶν** [00150]
**σωτηρίαν** [00039]
**σωτηρίας** [00181]
**σωφρονεστέρα** [00025]
**σωφροσύνη** [00004] [00006] [00014]
**σωφροσύνης** [00014]

**τὰ** [00014] [00033] [00058] [00075] [00076] [00090] [00113] [00121] [00124] [00125] [00126] [00137] [00139] [00140] [00140] [00141] [00146] [00150] [00150] [00156] [00165] [00169] [00178] [00186] [00189] [00206] [00206] [00210] [00210] [00210] [00222] [00223]
**ταῖς** [00221]
**ταλαίπωρε** [00023] [00069]
**τὰς** [00006] [00032] [00090] [00157]
**Ταῦτα** [00009] [00126] [00151] [00205]
**ταῦτα** [00055] [00056] [00072] [00117] [00140] [00162] [00165] [00169]
**ταύτην** [00143]
**τέκνα** [00182] [00210]
**τέκνου** [00153]
**τέκνων** [00043]
**τέλει** [00209]
**τελεία** [00212]
**τέλος** [00015]
**τῇ** [00039] [00039] [00041] [00137] [00140] [00153] [00174] [00174] [00174] [00197] [00209] [00210] [00210]
**τὴν** [00003] [00003] [00004] [00006] [00012] [00012] [00014] [00022] [00026] [00028] [00039] [00040] [00043] [00043] [00043] [00043] [00043] [00043] [00055] [00066] [00066] [00067] [00077] [00080] [00082] [00082] [00083] [00084] [00090] [00090] [00093] [00111] [00133] [00138] [00143] [00159] [00165] [00165] [00165] [00165] [00168] [00174] [00179] [00190] [00191] [00192] [00193] [00193] [00204] [00215] [00215] [00218] [00219] [00219]
**τῆς** [00001] [00004] [00006] [00009] [00014] [00014] [00014] [00025] [00040] [00043] [00043] [00043] [00043] [00043] [00043] [00069] [00069] [00075] [00084] [00112] [00161] [00179] [00181] [00207] [00212] [00216] [00217] [00223]
**Τί** [00019] [00179] [00187]
**τί** [00020] [00028] [00030] [00032] [00033]
**Τίνα** [00114]
**τίνι** [00091]
**τινι** [00162]
**Τίς** [00085] [00198]
**τίς** [00066]
**Τὸ** [00070]
**τὸ** [00003] [00005] [00014] [00015] [00017] [00017] [00038] [00040] [00043] [00043] [00043] [00047] [00069] [00069] [00077] [00081] [00090] [00110] [00132] [00133] [00135] [00152] [00153] [00154] [00155] [00172] [00181] [00200] [00203] [00203] [00208] [00210] [00214] [00218] [00225]
**τοιαῦτα** [00040] [00182]
**τοιαύτην** [00182]
**τοῖχοι** [00087]
**τολμῶμεν** [00041]
**Τὸν** [00031]
**τὸν** [00008] [00024] [00025] [00027] [00029] [00040] [00040] [00043] [00043] [00050] [00069] [00116] [00118] [00138] [00158] [00159] [00160] [00163] [00174] [00174] [00174] [00174] [00196] [00197] [00208] [00210] [00212] [00213] [00221]
**τόξα** [00103]
**τόπον** [00069]
**Τοσαῦται** [00094]
**τοσούτου** [00210]
**τότε** [00004] [00004] [00008] [00009] [00017] [00120] [00224]
**ΤΟΥ** [00001]
**τοῦ** [00003] [00004] [00004] [00004] [00005] [00007] [00008] [00009] [00016] [00026] [00043] [00051] [00076] [00082] [00083] [00084] [00142] [00149] [00158] [00173] [00178] [00215]
**τοὺς** [00030] [00195] [00225]
**Τοῦτο** [00156]
**τοῦτο** [00019] [00079] [00082] [00207] [00223]
**τούτου** [00108]
**τούτων** [00225]
**τραύματα** [00058]
**τρέμουσα** [00153]
**τρόμου** [00039]
**τρόπαιον** [00081]
**τροφὸν** [00165]
**τῷ** [00008] [00018] [00060] [00137] [00148] [00153] [00174] [00196] [00209] [00224] [00225] [00225] [00225]
**τῶν** [00014] [00043] [00043] [00043] [00043] [00083] [00096] [00144] [00149] [00150] [00150] [00153] [00158] [00158] [00162] [00165] [00165] [00165] [00165] [00166] [00186] [00213] [00219] [00225]

**Υἱῷ** [00225]
**ὑμᾶς** [00082] [00107] [00130] [00187] [00193] [00205] [00212] [00216]
**ὑμεῖς** [00097] [00098] [00100] [00106] [00164]
**Ὑμεῖς** [00215]
**ὑμέτερα** [00137] [00139] [00206]
**ὑμετέραν** [00093]
**ὑμετέρας** [00084] [00181]
**ὑμέτερος** [00059]
**ὑμῖν** [00132] [00179] [00189]
**ὑμῶν** [00036] [00040] [00080] [00081] [00082] [00090] [00094] [00138] [00164] [00165] [00196] [00196] [00204] [00207] [00208] [00217] [00219]
**ὑπασπιστάς** [00011]
**ὑπέγραφον** [00014]
**ὑπεδέξασθε** [00127]
**ὑπεδέξατο** [00164]
**ὑπὲρ** [00148] [00148] [00148] [00153] [00181] [00207] [00207]
**Ὑπὲρ** [00225]

**ὑπήνεγκα** [00201]
**ὑπὸ** [00037]
**ὑποβρύχιος** [00207]
**ὑπομονὴν** [00043]

**Φαραὼ** [00003]
**φησὶ** [00160]
**φησὶν** [00041]
**φησιν** [00060]
**φθόνου** [00152]
**φιλανθρωπία** [00004] [00008] [00016]
**φιλοδιδάσκαλος** [00093]
**φιλοπάτωρ** [00093]
**φιλοτιμίαν** [00168]
**φίλτρον** [00040]
**φόβου** [00039]
**φροντίζει** [00218]
**φυσικῆς** [00112]
**φυτευθὲν** [00218]
**φωνὴν** [00087]
**φωτιστήριον** [00070]

**χαίρω** [00079]
**χάριν** [00215]
**χαυνότεροι** [00222]
**χειμῶνα** [00208] [00210]
**χεῖρας** [00006] [00157]
**χειρῶν** [00150]
**χθὲς** [00169]
**χρεία** [00085] [00183] [00185] [00198]
**χρήμασιν** [00092]
**χρηστά** [00121]
**Χριστοῦ** [00037] [00051]
**χρόνῳ** [00128]
**χρυσοῦν** [00093]
**χωρίον** [00152] [00154]
**Χωρὶς** [00217]

**ὢ** [00093] [00194]
**Ὢ** [00044] [00053] [00093] [00194]
**Ὦ** [00147]
**ᾧ** [00144]
**ᾧή** [00225]
**ὡμολόγησε** [00017]
**ὡμολόγησεν** [00052]
**ὠνείδισέ** [00201]
**ὡπλίζοντο** [00046]
**ὡς** [00010] [00082] [00106] [00106] [00153] [00164] [00220] [00220]
**ὥσπερ** [00224]
**Ὥσπερ** [00058] [00083]
**ὥστε** [00218] [00218]
**Ὥστε** [00212]